
TEZAUR LITURGIC

26 IULIE

PARACLISUL
SF.CUVIOASE-MUCENIŢE
PARASCHEVA
DE LA ROMA



ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

26 ΙΟΥΛΙΟΣ
ΠΑΡΑΣΚΕΥΗ ΟΣΙΟΜΑΡΤΥΣ
ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεύς: Εὐλογητός ὁ Θεός ἡμῶν...
Χορός: Ἀμήν.

Ψαλμός ρμβ΄ (142)

Καί εὐθύς τό· Θεός Κύριος... ὑπό τῶν χορῶν
ἐξ ὑπαμοιβῆς μετά τῶν οἰκείων στίχων, ὡς ἀκολούθως:
Ἦχος δ΄
Θεός Κύριος καί ἐπέφανεν ἡμῖν. εὐλογημένος
ὁ ἐρχόμε νος ἐν ὀνόματι Κυρίου.
Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ καί ἐπικαλεῖσθε
τό ὄνομα τό ἅγιον αὐτοῦ.
Στίχ. β΄. Πάντα τά ἔθνη ἐκύκλωσάν με,
καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχ. γ΄. Παρά Κυρίου ἐγένετο αὕτη,
καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα τό ΤροπάριονἮχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.
Εὐαρεστήσασα Θεῷ, ἀθληφόρε, καί πειρασθεῖσα ὡς
χρυσός ἐν καμίνῳ, Παρασκευή, πανένδοξε, βασά-
νων πειρασμοῖς, θαύματα πηγάζεις νῦν καί νοσή-
ματα παύεις, καί τόν ὑπεράγαθον τοῦ Θεοῦ Θεόν
Λόγον, ὑπέρ ἡμῶν ἀεί ἐκδυσωπεῖς, ὅπως αὐτοῦ τῶν

δωρεῶν ἐπιτύχωμεν.
Δόξα Πατρί... Καί νῦν...
Οὐ σιωπήσομέν ποτέ, Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμή γάρ σύ προϊστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σούς γάρ δούλους σῴζεις ἀεί ἐκ παντοίων δεινῶν.

Εἶτα· ὁ Ν΄ (50) ψαλμός·

Εἶτα ψάλλομεν τόν Κανόνα.
Ὠδή α΄. Ὑγράν διοδεύσας.
ραράσχου μοι χάριν παρά Θεοῦ, σαῖς λιταῖς πρεσβείαις, θεοφόρε Παρασκευή, ὅπως ἀνυμνήσω σου τούς ἄθλους καί σήν βοήθειαν πόθῳ αἰτήσωμαι.
Αγγέλων ζηλώσασα τήν ζωήν παρθενίας βίον ἀνεδέξω θεοπρεπῶς καί ἤνυσας τρίβους μαρτυρίου, ὑπέρ Χριστοῦ τοῦ Σωτῆρος ἀθλήσασα.
Ροαῖς σῶν πλουσίων, Παρασκευή, δωρημάτων θείων τήν ψυχήν μου τήν ταπεινήν κατάρδευσον, ἵνα ἐκβλαστήσω τῆς μετανοίας καρπόν τόν σωτήριον.
Θεοτοκίον
Ανύμφευτε Κόρη, Μῆτερ Θεοῦ, νοός μου τό σκότος ἀποδίωξον καί φωτός ταῖς σαῖς φωτοφόροις ἱκεσίαις ναόν με δεῖξον Χριστοῦ τοῦ

Παντάνακτος.

Ὠδή γ'. Οὐρανίας ἀψῖδος.
Σωτηρίαν αἰτοῦμαι ἐκ δυνηροῦ καύσωνος, ἵνα κατάσβεσης μου φλόγα τήν τυραννοῦσαν με ἐκ φιληδόνων παθῶν καί τῇ σῇ χάριτι τάχει δρόσον παρασχοῦσά μοι, ἵνα δοξάζω σε.
Καταφύγιον θεῖον ἐν τοῖς σαρκός πάθεσι, Μῆτερ, ἀληθῶς ἀνεδείχθης καί ἐνδιαίτημα τοῖς προσιοῦσι πιστῶς, ἐν τῷ ἁγίῳ ναῷ σου, λυτρου-μένοις τάχιστα πάσης ὀχλήσεως.
Ἐνδιαίτημα, Μῆτερ, τῶν ἀρετῶν ποίησον τήν ἐμήν καρδίαν, ἐν φόβῳ, περιτειχίζουσα καί τήν μανίαν ἐχθροῦ, ἐξ ἐννοιῶν ἀκαθάρτων κατατυραννούν-των με τάχει ἀπάλλαξον.
Θεοτοκίον
Ὑμνους δέξαι, Παρθένε, σῶν ἱκετῶν, Δέσποινα, σύ γάρ εἶ ἀνήροτος χώρα καί ἀγεώργητος, ἐξ ἧς ἐβλάστησε νῦν τό ζωοδώρητον ἄνθος πνέον εὐωδίαν τοῖς πᾶσιν αἰώνιον.

Διάσωσον, Παρασκευή ἀθληφόρε, πάσης ἀνάγκης, ταῖς πρός Θεόν ἱκεσίαις σου, Πάνσεμνε, τούς μετά πίστεως σέ ἀνυμνοῦντας.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Κάθισμα. Ἦχος β'. Τὰ ἄνω ζητῶν

Πρεσβείᾳ τῇ σῇ, Παρασκευή πανένδοξε, ἐν πίστει θερμῇ, ἡ ποίμνη σου προστρέχουσα, κακῶν ἀπαλλάττεται καί πηρῶν ὀμμάτων κακώσεως· ᾗ πάντοτε φωτόμορφον ζωήν καί χάριν δίδου ἀδάπανον.

Ὠδή δ'. Εἰσακήκοα, Κύριε.

Ητοῦ βίου λαμπρότης σου ἀρετῶν παντοίων ὤφθη πολύφωτος οὐρανός καί ὑπερήστραψεν αἵματος ρανίσιν μαρτυρίου σου.

Νυκτωθέντα με πρόφθασον ἐκ τοῦ σοῦ παμφώτου, ὦ Μῆτερ, δώματος, ἔνθα αἴγλην τήν οὐράνιον διαλάμπεις πᾶσι τοῖς ὑμνοῦσί σε.

Μαρτυρίου τόν στέφανον ἐκ χειρός ἐδέξω, Μάρτυς, τοῦ Κτίστου σου, Ὅν μή παύσῃ ἱκετεύουσα ὑπέρ τῶν πιστῶς παρακαλούντων σε.

Θεοτοκίον

Εκ βορβόρου με λύτρωσαι, ἡ Θεόν ἀσπόρως κυοφορήσασα καί τυχεῖν δόξης ἀξίωσον, τούς εἰλικρινῶς σε ἱκετεύοντας.

Ὠδή ε'. Φώτισον ἡμᾶς.

Λάμπρυνον ἡμῶν σκοτισθεῖσαν τήν διάνοιαν καί τῷ βραχίονί σου, Παρασκευή, τάς τῶν ἐχθρῶν προσβολάς ἀποδίωξον.

Πνεῦσον καί ἡμῖν τήν σήν χάριν, Καλλιπάρθενε, τούς τῷ ναῷ σου τούτῳ ἐν προσευχῇ τήν σήν

εἰκόνα ἐν δάκρυσι βρέχοντας.
Ἔδειξας ἡμῖν σωφροσύνης τήν ἐντέλειαν, Παρασκευή ὁσία, μάρτυς Χριστοῦ διό τόν νοῦν ἡμῶν μή παύσῃ φωτίζουσα.
Θεοτοκίον
Ἵλεως γενοῦ ταῖς πρεσβείαις σου, Πανάχραντε, καί τοῦ νοός μου ζόφωσιν χαλεπήν ἐν τῇ δυνάμει τῇ σῇ διασκέδασον.

Ὠδή στ'. Τήν δέησιν ἐκχεῶ.
Ἀγάπην, Παρασκευή, ποθήσασα ὑπερέβης τήν φθοράν ἁμαρτίας διαγαγοῦσα ἁγνότητος βίον χάριν Χριστοῦ τοῦ Νυμφίου καί Κτίστου σου, ἐξ Οὗ καί χάριν καί ζωήν ἐκομίσω πλουσίως, Πανεύφημε.
Νάμασι φωτεινοῖς σου ὑέτισον ὀφθαλμῶν μου, Πανοσία, τό σκότος, θαυματουργέ. ὥς ποτε βασιλέως τοῦ ἀσεβοῦς ἰατρεύσασα τύφλωσιν ἰάτρευσον κἀμοῦ πηρούς ὀφθαλμούς τῆς καρδίας καί σώματος.
Αἱμάτων σου τοῖς κρουνοῖς κατάσβεσον πονηρῶν ἐνθυμημάτων τήν φλόγα, ὥσπερ κατέσβεσας πάλαι ἀπίστων τό πῦρ ἀνόμων δημίων πρεσβεύουσα· ἡ χάρις γάρ ὑπέρ ἡμῶν τοῦ Θεοῦ, ἐνεργεῖ ταῖς πρεσβείας σου.
Θεοτοκίον
Ξενίσασα, Θεοτόκε, τόν Ξένον τόν ξενίζοντα πτωχῶν τάς καρδίας καί τῆς φθορᾶς καί θανάτου

πᾶν γένος τό ξενισθέν ἐν τῷ Ἅδῃ ἀπήλλαξας· διό,
Παρθένε, καί ἡμεῖς εὐχαρίστως τό χαῖρέ σοι
μέλπομεν.

Διάσωσον, Παρασκευή ἀθληφόρε πάσης ἀνάγκης,
ταῖς πρός Θεόν ἱκεσίαις σου, Πάνσεμνε, τούς
μετά πίστεως σέ ἀνυμνοῦντας.
Ἀχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον,
ὡς ἔχουσα μητρικήν παρρησίαν.

Κοντάκιον Ἦχος β'.Προστάτις πιστῶν,
Παρασκευή ἀθληφόρε, πέ-λουσα, τοῖς τῇ σεπτῇ εἰκόνι
σου θερμῶς προ-σπελάζουσιν, ἱκέτευε Χριστόν τόν
Νυμφίον σου,δωρηθῆναι λύσιν τῶν δεινῶν, νόσων καί
θλίψεων, καί ἁμαρτιῶν πασῶν τήν συγχώρησιν.

Καί εὐθύς· τό α' Ἀντίφωνον τοῦ δ' ἤχου,
μεθ' ὅ τό Προκείμενον·
Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι,
καί εἰσήκουσε τῆς δεήσεώς μου.
Στίχ.: Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου,
καί κατεύθυνε τά διαβήματά μου.

ΕΥΑΓΓΕΛΙΟΝ Ἐκ τοῦ κατά Ματθαῖον (Κεφ. ι' 16-22).
εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς ἰδού ἐγώ
ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων γί-
νεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καί ἀκέραιοι ὡς αἱ

περιστεραί. Προσέχετε δὲ ἀπό τῶν ἀνθρώπων· παραδώσουσι γάρ ὑμᾶς εἰς συνέδρια, καί ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς· καί ἐπί ἡγεμόνας δέ καί βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς καί τοῖς ἔθνεσιν. Ὅταν δέ παραδώσωσιν ὑμᾶς, μή μεριμνήσητε, πῶς ἤ τί λαλήσετε· δοθήσεται γάρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε· οὐ γάρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλά τό Πνεῦμα τοῦ Πατρός ὑμῶν τό λαλοῦν ἐν ὑμῖν. Παραδώσει δέ ἀδελφός ἀδελφόν εἰς θάνατον καί πατήρ τέκνον, καί ἐπαναστήσονται τέκνα ἐπί γονεῖς καί θανατώσουσιν αὐτούς καί ἔσεσθε μισούμενοι ὑπό πάντων διά τό ὄνομά μου ὁ δέ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Δόξα Πατρί...
Ταῖς τῆς ἀθληφόρου πρεσβείαις,
ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν...
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Προσόμοιον Ἦχος πλ. β'. Μεταβολή τῶν θλιβομένων.
Στίχ.: Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός σου...
οὐδείς προστρέχων σῷ ναῷ, κατῃσχυμμένος ἐξ αὐτοῦ ἐκπορεύεται, Παρασκευή ἀθληφόρε ἀλλ' αἰτεῖται τήν ῥῶσιν καί λαμβάνει τήν ἴασιν παρά Θεοῦ ταῖς ἱκεσίαις σου.
μεταβολή παντός κινδύνου, ἀπαλλαγή παντοίων

νόσων ὑπάρχουσα, Παρασκευή Παρθένε, ρῦσαι πάντας τῶν δεινῶν τῆς τῶν ἐναντίων κακουχίας, καί τῆς τῶν δαιμόνων ἐπηρείας, ταῖς θείαις σου λιταῖς πρός τόν Θεόν.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.
ιθυνόν με πρός τρίβους ἀρετῶν, μετανοίας, καί ἐπιγνώσεως, ἵνα μιαρωτάτου ἐκφύγω τήν φενάκην καί ἐν πίστει κραυγάζω σοι δέχου, Ὁσία, λιτάς ἐμοῦ τοῦ τρισαθλίου.
ωσπερ στήριγμα θεῖον αἱ πρεσβεῖαί σου, Μῆτερ, ἡμῖν ὑπάρχουσι καί αἰτημάτων λύσιν, οἱ πίστει προσιόντες, τῷ ναῷ σου, λαμβάνουσι· διό στηρίζουσα ἀεί, πρεσβείαις σου, μή παύσῃ.
Σαρκικῶν μελημάτων παιδιόθεν ἐρρύσθης καί σκεῦος γνήσιον, Παρασκευή θεόφρον, ἐκφεύγουσα τήν πλάνην τοῦ δολίου ἀλάστορος ἐν ἐγκρατείᾳ πολλῇ προσῆλθες σῷ Νυμφίῳ.
Θεοτοκίον
εκ γαστρός σου προῆλθεν σαρκοφόρος ὁ Λόγος, σκηνή θεότευκτε, διό παρακαλοῦμεν μή παύσῃ δυσωποῦσα, τεθλιμμένων παράκλησις, πρεσβεύουσα ὑπέρ ἡμῶν τυχεῖν ἐνθέου δόξης.

Ὠδή η'. Τόν Βασιλέα.
Ὑμνον προσφέρω ἐν τῷ ἁγίῳ ναῷ σου καί αἰτοῦμαι παθῶν ἀκαθάρτων ρῦσαι πολυτρόπων καί κάθαρον σόν δοῦλον.

ἀδιαλείπτως τοὺς ἀτενίζοντας πίστει σὴν σεπτὴν καὶ ἁγίαν εἰκόνα, μὴ ἐγκαταλίπῃς, Παρασκευὴ θεόφρον.
γάννυται πόλις ἐπὶ ἁγίᾳ μονῇ σου ἐν ι ᾗ πᾶσι παρέχεις τῆς σῆς εὐλογίας τάς δωρεάς πλουσίως Παρασκευῇ θεόφρον.
Θεοτοκίον
γῇ παναγία, ἐκ σῶν λαγόνων προῆλθεν σαρκοφόρος ὁ Λόγος, Παρθένε, Ὃν ἀεί δυσώπει ὑπέρ ἀχρείων δούλων.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.
ἐλέησον σοὺς δούλους τοὺς ἐν κατανύξει, τόνδε τὸν ὕμνον ἐκθύμως προσφέροντας καὶ τῶν θαυμάτων τοὺς ὄμβρους πᾶσι κηρύττοντας.
λαὸν τὸν τοῦ Κυρίου τῇ σῇ προστασίᾳ μὴ διαλίπῃς φυλάττουσα, ἄτρωτον πάσης ἀνάγκης καὶ βλάβης καὶ θλίψεως.
οἱ πίστει προσιόντες σῇ σεπτῇ εἰκόνι μετὰ δακρύων, ἀφέσεως λύτρωσιν παρὰ Κυρίου αἰτοῦμεν, τῇ μεσιτείᾳ σου.
Θεοτοκίον
Σωτῆρα ἡ τεκοῦσα, ὡς κρήνη πολυχεύμων, ἐκ τῶν παθῶν μου, πρεσβείαις σου, σῷσόν με καὶ τῆς ἀφέσεως νᾶμα πᾶσιν ἐπόμβρησον.

Τὸ Ἄξιόν ἐστιν καὶ τὰ Μεγαλυνάρια
χαίροις εὐφημούντων σέ ὁδηγέ, πόλεως Σερραίων

ἡ πανθαύμαστος ἰατρός· Χαίροις τῶν Ἀγγέλων τόν βίον μετελθοῦσα, Παρασκευή Ἁγία, πιστῶν τό καύχημα.

τήν λελαμπρυσμένην ἐν ἀρεταῖς καί ἀγαλλομένην σύν ἀγγέλοις ἐν οὐρανοῖς, τήν πορφυρωθεῖσαν αἵματι μαρτυρίου, Παρασκευήν Ἁγίαν, ὕμνοις τιμήσωμεν.

πορφυράν ἐξ αἵματος τήν στολήν σύ περικειμένη καί τό στέμμα ἐν κορυφῇ, ἔχουσα, ὦ Μάρτυς, καί τήν τῆς παρθενίας, κατέχουσα λαμπάδα ἡμῶν μνημόνευε.

πάντας τούς προστρέχοντας εὐλαβῶς τῇ σεπτῇ μονῇ σου μή παρίδῃς, ἀλλ' ἐκτενῶς πρός τόν σόν Νυμφίον λιταῖς σου σκέπε, φρούρει καί σῴζε ἐκ κινδύνων καί πάσης θλίψεως.

δέξαι τῶν ὀμμάτων μου τάς ροάς, δι' ὧν σοι προσφέρω δακρυρρόους τάς προσευχάς, ἵνα φωτισμόν μοι παράσχῃ, Ἀθληφόρε, Χριστός ὁ Φωτοδότης, Ὅς σέ ἐδόξασεν.

πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τό Ἀπολυτίκιον τῆς Ἁγίας


Ἀπολυτίκιον. Ἦχος α'.

τήν σπουδήν σου τῇ κλήσει κατάλληλον, ἐργασαμένη φερώνυμε, τήν ὁμώνυμόν σου πίστιν, εἰς κατοικίαν κεκλήρωσαι, Παρασκευή ἀθληφόρε

ὅθεν προχέεις ἰάματα, καί πρεσβεύεις ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ἐκτενής καί Ἀπόλυσις, μεθ' ἥν ψάλλομεν τό ἑξῆς:
Ἦχος β'. Ὅτε ἐκ τοῦ Ξύλου.
μάρτυς τοῦ Χριστοῦ, Παρασκευή, σκέπη τῆς Μονῆς σου τῆς θείας ὤφθης πολύτιμος, φέ-ρουσα ἀθλήσεως ἔνδοξα ἔπαθλα δι' ὧν σῴζεις, Πανύμνητε, ἐκ νόσων παντοίων παρρησίαν ἔχουσα ἀεί πρός Κύριον· ὅθεν καί ἡμεῖς δυσωποῦμεν, ὅπως πρός Αὐτόν σαῖς πρεσβείαις, παθῶν ἀλλοτρίων λυτρωθεί-ημεν.

Δίστιχον·
Παρασκευή, προσδέχου δέησιν τήνδε,
ἥν σοι πιστοί προσάδουσι.


A
P
Ω